UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Menæ Scholastico. 46.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Ἑρμίνῳ κόμητι. μγ.

Ὑπόθες.

Ἀπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ἐξορκιῶ σε τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐνετείλατο τελευτῶν ὁ Ἀβραὰμ τῷ οἰκέτῃ, τὸν ἐκ τῶν μηρῶν αὐτοῦ μέλλοντα σαρκοῦσθαι θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς τὸν κύριον ἡμῶν καὶ δεσπότην χριστὸν, καθαρότητι διανοίας ὁρῶν μέλλοντα τοῦ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεσθαι, ὡς προφήτης καὶ βλέπων τὰ ἔμπροσθεν.

*Hermino Comiti.* 43.

Pone manum tuam super femur meũ, & adiurabo te per Deum cæli & terræ, imperauit seruo suo Abraham morti propinquus. Nimirum eum, qui ex ipsius femore carnem assumpturus erat, Deum cæli & terræ, Dominum nostrum & herum Iesum Christum, Abrahæ semen apprehensurum, pro sua animi puritate cernẽs, vt Propheta, & ea, quæ à fronte erant, conspiciens. *Gen. 24.* *Heb. 2.*

Μωσῇ ἐπισκόπῳ. μδ.

Οὐ χρὴ τὰς τῶν πενήτων τροφὰς ἀδοκιμάστως διανέμειν, ἀλλ᾽ ἐκεῖνο πεπεῖσθαι τὸν ταύτας οἰκονομεῖν τεταγμένον, ὡς εἴ τι πέρα τοῦ δέοντος ἀνάλωται, ἱεροσυλίας αὐτὸν καθίστησιν ὑπεύθυνον πταίσμασι.

οἷς χρὴ, ἀλλ᾽ ἐκεῖνον πεπιστεῦσθαι.

*Mosi Episcopo.* 44.

Pauperum alimenta non temerè ac sine iudicio distribuere oportet quibus oportet: verùm illud persuasum habere debet is, cui eorum cura & administratio commissa est, quòd si quid, contrà quàm opus sit, impensum fuerit, sacrilegij reum seipsum constituit.

Μαρτυρίῳ ἐπισκόπῳ. με.

Παρέργως ποιῇ τὴν τῶν θείων νόμων ἀνάγνωσιν, ἢ καὶ αὐτὴν ἀγνοεῖς τὴν ἀνάγνωσιν. ἡνίκα γὰρ εἰς τὸν θεῖον ναὸν ἱερουργεῖν Ἀαρὼν, καὶ οἱ ἐξ ἐκείνου εἰσῄεσαν, πάντα τὰ ἐξ ἐρέας ἀποτιθέντες ἐσθήματα, στολὰς ἐκ λίνου, παρεβάλλοντο ἐχούσας καὶ τὸ ἀπόρρητον, καὶ τῶν ἔξω θορύβων ἐπιλησμονεῖν σημαινούσας. ὁ γὰρ θεῷ λειτουργεῖν προσιὼν, οὐδὲν ἀλλότριον καὶ τῆς ὕλης ἐφόλκιον ἐπιφέρεσθαι δύναται. εἰ τοίνυν μετὰ τοιαῦτα τεκμήρια βιάζεσθαι κατατολμᾷς τὴν ἀλήθειαν, συγχύσεις καὶ φλυαρίας ἐπεισφέρων τοῖς ἀνακτόροις, οἷς πᾶσα σιγὴ κεχρεώστηται, ὁμιλίας ἀτόπους, χειροθεσίας ἀθέσμους, εἰς ἔσχατον πέπεισο ἐξωθῶν σαυτὸν κατακρίσεως κίνδυνον.

περιεβάλλοντο. τὸ ἀπειρημένον.

*Martyrio Episcopo.* 45.

Obiter ac defunctoriè leges diuinas legis, aut etiam lectionem ipsam ignoras. *Exo. 28.* Cùm enim Aaron eiusque successores in templum sacrificij causa ingrediebantur, laneis omnibus vestimentis abiectis, vestes ex lino contextas induebant, arcani aliquid continentes, atque illud significantes, externos tumultus tum de memoria deponendos esse. Nam qui rei sacræ causa ad Deum accedit, nihil alienum, nec vllã rerum ex materia cõstantiũ sarcinam secũ afferre debet. Quamobrem si post huiusmodi coniecturas audacia & temeritate ductus veritati vim afferre coneris, confusiones ac nugas templis (quibus silentium omne debetur) colloquiaq; turpia & præpostera, nefariásque manuum impositiones inferens, hoc persuasum habe, quòd in extremum cõdemnationis & exitij periculum teipsum impelles.

Μηνᾷ σχολαστικῷ. μς.

Τὰ πράγματα λόγων οὐ χρῄζει· αὐτὰ γάρ ἐστι φαινόμενα. οἱ λόγοι δὲ

*Menæ Scholastico.* 46.

Actiones sermonibus haud indigent. illæ enim apparent: sermones autem potiùs,

vt in actiones vertantur, opus habent: & quidem ipsi, si cum honestate & grauitate coniuncti sint. Quamobrem si tibi cordi est vtrinque celebrari, da operam, vt & sermonem ad actionem, & actionem ad sermonem adiungas. *Sermonis & actionis nex°.*

*Nemesio Prætori.* 47.

Præturæ authoritas & potentia, nisi mãsuetudine condiatur, ipsique suauitas Deo ministrans affulgeat, arrogantia potiùs est & immanitas. Si verò lenitatem admixtã habeat, ac per eam ius regat & moderetur; tum demũ & integritas & benignitas est, & æquitatis via, & rerum tranquillitas.

*Epagatho Presbytero.* 48.

*Luc.2.* Descriptus est Dominus, cùm vtero ge-
*Matt.17.* staretur, & censum Cæsari pependit: hinc videlicet velut lata lege nobis indicens, vt ei, qui imperium tenet, obediamus, modò nihil ad pietatem detrimenti afferat. Quæ igitur ipse Deus noster, subita per dispensationem & consilium paupertate, docuit, candido animo imitemur, nec pauperum obtentu tributum pendere detrectemus.

*Paulo Cœnobiarchæ.* 49.

*In monachos inertes.* Ingentem, vt ad me allatum est, fratrum multitudinem collegisti, qui rectè quidem ac præclarè viuere soleant, verùm inertes ac desides manus habeãt. Hoc autem nec à Christo factum, nec à Paulo sapienti doctore obseruatum reperisti. Nam ille & vineam, & operam, ac laborem, & mercedẽ ob eum pollicetur: hic autem manibus o-
*Matt.20.* perari, vt nullius auxilio opus habeamus,
*1.Thess.4* docuit. Quocirca si & Christo Deo obtemperas, & sapientissimum Paulum imitaris, aut eos laborare doce; aut causam & prætextum aliquem ostende, ob quem & alentur, & quietem obtinebunt, & improbis cogitationibus vacabũt: qui nec Christo obedientes se præbent, nec Pauli vestigia sequuntur.

μᾶλλον τοῦ γενέσθαι πράγματα δέονται. καὶ αὐτοί, εἰ σεμνότητος ἔχονται. εἰ τοίνυν βούλοιο κατ' ἀμφότερα φανῆναι ἀοίδιμος, καὶ πρᾶττε λογικῶς, καὶ λέγε πρακτικῶς.

Νεμεσίῳ ἄρχοντι. μζ.

Ἡ τῆς ἀρχῆς ἐξουσία, εἰ μὴ κέκραται ἡμερότητι, καὶ ἐπανθεῖ αὐτῇ ἡ θεῷ διακονοῦσα προσήνεια, ἀπόνοιά ἐστι μᾶλλον καὶ ἀγριότης. εἰ δὲ τῷ πρᾴῳ (τὸ πρᾶον) μιγείη, καὶ τούτῳ ἰθύνει τὸ δίκαιον, καὶ εὐθύτης ἐστὶ καὶ χρηστότης καὶ ὁδὸς εὐνομίας, καὶ πραγμάτων γαλήνη.

Ἐπαγάθῳ πρεσβυτέρῳ. μη.

Ἀπεγράφη ὁ κύριος τῇ μήτρᾳ φερόμενος, καὶ κῆνσον ἐτέλεσε Καίσαρι, τῷ κράτει νομοθετῶν ὑποτάσσεσθαι, ὅταν μηδὲν παραβλάπτῃ πρὸς τὴν εὐσέβειαν. ἃ τοίνυν αὐτὸς ὁ θεὸς ἡμῶν κατ' οἰκονομίαν πτωχεύσας ἐδίδαξεν, εὐγνωμόνως ἡμεῖς μιμησώμεθα, καὶ μὴ σκήψει πτωχῶν, τὸν φόρον ἀρνώμεθα.

Παύλῳ ἀρχιμανδρίτῃ. μθ.

Πολλήν, ὡς ἔγνων, πληθὺν ἀδελφῶν συναγήοχας, καλῶς μὲν ζῆν ἐθιζόντων, ἀργὰς δὲ χεῖρας ἐχόντων. τοῦτο δὲ οὔτε παρὰ Χριστοῦ εὗρες τελούμενον, οὔτε παρὰ Παύλου τοῦ σοφοῦ διδασκάλου τηρούμενον. ὁ μὲν γὰρ καὶ ἀμπελῶνα, καὶ ἐργασίαν, καὶ μισθὸν ἐπ' αὐτῷ ἐπαγγέλλεται. ὁ δὲ ἐργάζεσθαι ταῖς χερσί, καὶ μηδενὸς προσδεῖσθαι ἐδίδαξεν. εἰ τοίνυν καὶ Χριστῷ πείθῃ τῷ θεῷ, καὶ Παῦλον τὸν πάνσοφον μιμῇ, ἢ ἐργάζεσθαι παίδευσον, ἢ τὴν πρόφασιν δίδαξον, ἀφ' ἧς καὶ τραφήσονται, καὶ ἀνάπαυσιν ἕξουσι, καὶ πονηρῶν λογισμῶν καθαρεύουσιν, οἱ μήτε Χριστῷ πειθαρχοῦντες, μήτε Παύλῳ ἀκολουθοῦντες.